ΤΟ ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ ΤΟΥ ΓΑΜΟΥ

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (κεφ. ε´ 20-33).

Ἀδελφοί, εὐχαριστεῖτε πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ Πατρί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ. Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε ὡς τῷ Κυρίῳ, ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. Ἀλλ᾽ ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος. Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ᾽ ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Κύριος τὴν Ἐκκλησίαν· ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ· ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δὺο εἰς σάρκα μίαν. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν. Πλὴν καὶ ὑμεῖς οἱ καθ᾽ ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.

Ἀδελφοί, νὰ εὐχαριστεῖτε πάντοτε γιὰ ὅλα τὸν Θεὸ καὶ Πατέρα στὸ ὄνομα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ καὶ νὰ ὑποτάσσεσθε ὁ ἕνας στὸν ἄλλο μὲ φόβο Χριστοῦ. Οἱ γυναῖκες νὰ ὑποτάσσεσθε στούς ἄνδρες σας σὰν νὰ ὑποτάσσεσθε στὸν Κύριο, διότι ὁ ἄντρας εἶναι κεφαλὴ τῆς γυναίκας, ὅπως καὶ ὁ Χριστὸς εἶναι κεφαλὴ τῆς Ἐκκλησίας, καὶ αὐτὸς εἶναι σωτήρας τοῦ σώματος (τῆς Ἐκκλησίας). Ἀλλὰ ὅπως ἀκριβῶς ἡ Ἐκκλησία ὑποτάσσεται στὸν Χριστό, ἔτσι καὶ οἱ γυναῖκες νὰ ὑποτάσσονται στοὺς ἄντρες τους σὲ καθετί. Οἱ ἄντρες νὰ ἀγαπᾶτε τίς γυναῖκες σας, ὅπως καὶ ὁ Χριστὸς ἀγάπησε τήν Ἐκκλησία καὶ θυσιάστηκε γι᾽ αὐτή, γιὰ νὰ τὴν ἁγιάσει, ἀφοῦ τὴν καθαρίσει μὲ τὸ ἅγιο βάπτισμα μὲ τὸν λόγο τῆς ἐπικλήσεως ποὺ τὸ συνοδεύει, καὶ στὴν συνέχεια νὰ τὴν στήσει στὸ πλευρό του σὰν νύμφη ἔνδοξη τὴν Ἐκκλησία, χωρὶς νὰ ἔχει στίγμα ἢ κηλίδα ἢ κάτι τέτοιο, ἀλλὰ νὰ εἶναι ἁγία καὶ ἄμεμπτη. Ἔτσι ὀφείλουν οἱ ἄντρες νὰ ἀγαποῦν τίς γυναῖκες τους, ὅπως τὰ ἴδια τους τὰ σώματα· ἐκεῖνος ποὺ ἀγαπᾶ τὴν γυναίκα του τὸν ἑαυτό του ἀγαπᾶ· γιατὶ κανεὶς ποτὲ δὲν ἐμίσησε τὴν σάρκα του, ἀλλὰ τὴν τρέφει καὶ τήν περιθάλπει, ὅπως καὶ ὁ Κύριος τὴν Ἐκκλησία· διότι εἴμαστε ἐμεῖς οἱ ἄνθρωποι, ποὺ ἀποτελοῦμε τήν Ἐκκλησία, μέλη ἀπὸ τὸ σῶμα του, ἀπὸ τὴν σάρκα του καὶ ἀπὸ τὰ ὀστά του· γι᾽ αὐτὸ τὸν λόγο θὰ ἐγκαταλείψει ὁ ἄνθρωπος τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ θὰ προσκολληθεῖ στὴν γυναίκα του καὶ θὰ γίνουν οἱ δυό τους μιὰ σάρκα (θὰ εἶναι ἕνα σῶμα). Τὸ μυστήριο τοῦτο εἶναι μεγάλης σημασίας καὶ ἐγὼ τὸ παρομοιάζω (παραλληλίζω) μὲ τὸν δεσμὸ ποὺ ἔχει ὁ Χριστὸς μὲ τὴν Ἐκκλησία. Ἀνεξάρτητα ὅμως ἀπὸ αὐτὸ καὶ ἐσεῖς ποὺ εἶστε νυμφευμένοι, ὁ καθένας χωριστὰ ἂς ἀγαπᾶ τὴν γυναίκα του ἔτσι ὅπως ἀγαπάει τόν ἑαυτό του, καὶ ἡ γυναίκα νὰ σέβεται τὸν ἄντρα της.